*θήσει τὴν εὕρεσιν, ἵνα μὴ σοφιστικὴν ἕξιν μηδὲ ἱστορικὴν ἀλλ' ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι τὸ καλῶς ἀκοῦσαι νομίζοντες.*

## 4.

# ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ

(Plan. 7)

**1.** *Τῷ σφόδρα φιλεῖν ἑαυτόν, ὦ Ἀντίοχε Φιλόπαππε, φάσκοντι συγγνώμην μὲν ἅπαντας ὁ Πλάτων διδόναι φησί, κακίαν δὲ σὺν πολλαῖς ἄλλαις ἐγγίνεσθαι μεγίστην, ὑφ' ἧς οὐκ ἔστιν αὑτοῦ κριτὴν δίκαιον οὐδ' ἀδέκαστον εἶναι· 'τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον', ἂν μή τις μαθὼν ἐθισθῇ* F *τὰ καλὰ τιμᾶν καὶ διώκειν μᾶλλον ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ' ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν, δι' ἣν αὐτὸς αὑτοῦ κόλαξ ἕκαστος ὢν πρῶτος καὶ μέγιστος οὐ χαλεπῶς προσίεται τὸν | ἔξωθεν ὧν οἴεται καὶ βούλεται μάρτυν* **49** *ἅμα αὐτῷ καὶ βεβαιωτὴν προσγινόμενον. ὁ γὰρ λοιδορούμενος φιλοκόλαξ σφόδρα φίλαυτός ἐστι, [καὶ] δι' εὔνοιαν ἑαυτῷ πάντα μὲν ὑπάρχειν βουλόμενος πάντα δ' οἰόμενος ὧν ἡ μὲν βούλησις οὐκ ἄτοπος ἡ δ' οἴησις ἐπισφαλὴς καὶ δεομένη πολλῆς εὐλαβείας. εἰ δὴ θεῖον ἡ ἀλήθεια καὶ 'πάντων μὲν ἀγαθῶν*